ἀντῳδῆς κρητικοῦ κειμένου. τὸ τέταρτον χοριαμβικὸν τοῦ δευτέρου ποδὸς ὄντος διτροχαίου τρίμετρον βραχυκατάληκτον. τὸ ε΄. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ΄. δίμετρον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου ἀκατάληκτον. τὸ δὲ τῆς ἀντῳδῆς ἐκ διϊάμβου καὶ διτροχαίου. τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. τὸ η΄ χοριαμβικὸν ἡμιόλιον συνίζησιν ἔχον εἰς τὸ Θρῃκία διά

A τὸ ἡμιόλιον ἐστὶ τὸ τῆς ἀντῳδῆς ἐκ διτροχαίου. τὸ ἔνατον ὅμοιον τῷ πέμπτῳ καὶ τὸ ι΄. τὸ ια΄ μονόμετρον ὑπερκατάληκτον. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. ἡ δὲ ἀντῳδὴ ἰσόμετρος. ἐπὶ τῷ τέλει τῆς μὲν ᾠδῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντῳδῆς δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Φιλοτιμότεραι Κλεοφῶντος. ἐφ' οὗ
Δὴ χείλεσιν ἀμφιλάλοις,
Δεινὸν ἐπιβρέμεται
Θρῃκία χελιδὼν
Ἐπὶ βάρβαρον ἑζομένη πέταλον.
Κελαδεῖ δ' ἐπίκλαυτον ἀηδόνιον
Νόμον, ὡς ἀπολεῖται,
Κἂν ἴσαι γένωνται.

B *Cleophonte magè ambitiosa suo:*
*Cuius strepero ore, grauis*
*Infremit horrisonum*
*Thracia hirundo melos,*
*Folio residens malè barbarico:*
*Resonatq; vti luscinia heu miserum, hoc:*
*Quòd sit periturus.*
*Quamuis paria sint vota.*

C

Σχόλια. Κλεοφῶντος. ] Κλεοφῶν στρατηγὸς τῶν Ἀθηναίων, καὶ εἰς τοῦτον τὸ δημαγωγὸν δρᾶμα φέρεται Πλάτωνος. καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον κωμῳδεῖ, ὡς ξένον καὶ ἀμαθῆ, καὶ φλύαρον καὶ δυσγενῆ. Θρᾷκα γὰρ αὐτὸν ἔλεγον. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως. Θρῃκία χελιδών. ] ἵνα διαβάλλῃ αὐτὸν ὡς βάρβαρον. κωμῳδεῖται γὰρ ὡς υἱὸς Θρᾴττης. ἔστι δὲ ἣν ὁ καλούμενος Κλεοφῶν ὁ λυροποιός. καὶ Πλάτων ἐν Κλεοφῶντι δράματι, βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ γὰρ Θρᾷσσα ἐλέγετο. χελιδὼν γὰρ ἀπαίδευτα. ἀηδόνιον δὲ νόμον, παρόσον ἡ ἀηδὼν τὸν ἑαυτῆς υἱὸν Ἴτυν θρηνεῖ. καὶ τοῦτον ἐπίκλαυτον ᾄδειν λέγει συνειδότα ἑαυτῷ δεινότατα περὶ τὴν πόλιν πεπανουργηκότι. Κἂν ἴσαι γένωνται. ] αἱ ψῆφοι δηλονότι αἱ λευκαὶ καὶ αἱ μέλαιναι. ὑπερβολικῶς δὲ εἶπεν. ὅταν γὰρ ἴσαι γένωνται αἱ ψῆφοι ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δὲ ὅτι φεύγων ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν. ἀπὸ τοῦ κατὰ

τὸν Ὀρέστην γενομένου. Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις. ἐξέσωσά σε καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας κρίνας' Ὀρέστα.

Bisetus. Κἂν ἴσαι γένωνται] Ἄλλως. ἡ τῶν ψήφων ἰσότης, ἣν ἰσοψηφίαν καλοῦμεν, τοὺς κατηγορουμένους, καὶ φεύγοντας ἀπολύει. τὰ δ' Εὐριπίδου οὕτως ἔχει,

Γνώμης δικαίας, οὕνεκ' ἐξέσωσά σε,
Καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
D Κρίνασ', Ὀρέστα, καὶ νόμισμ' εἰς ταυτό γε
Νικᾶν, ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.

καὶ ἐν Ἠλέκτρᾳ ὁ αὐτὸς Εὐριπίδης περὶ τῆς ἰσοψηφίας ταῦτα λέγει,

Ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι. καὶ
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται
Νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.

E

## ΕΡΙΡΡΗΜΑ.

## Epirrhema.

Bisetus. Παράβασις, ἢ ἐπίρρημα ἐκ στίχων κ.

ΗΜ. Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
F Ξυμπαραινεῖν, καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ,
Ἐξισῶσαι τοὺς πολίτας, κἀφελεῖν τὰ δείματα.
Κεἴ τις ἥμαρτε σφαλείς τι, Φρυνίχου παλαίσμασιν
Ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσι τότε.
Αἰτίαν ἐκθεῖσι, λῦσαι τὰς πρότερον ἁμαρτίας.

Sem. *Aequum est, vt sacer chorus Reipub. benè consulat,*
*Et quæ vtilia sunt, dicat. Principiò ergo nobis bonum*
*Hoc videtur, exæquare ciues: atque illis metum*
*Demere: Nam si quis labendo errârit, more Phrynichi,*
*Hunc oportet in numerum prolapsorum referre; vbi*
*Causas afferunt erroris, ibi criminis absoluere.*

G

Σχόλια. Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι. ] τὸ τοιοῦτο, παράβασις καλεῖται ὅπερ ἔλεγον ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως. σύγκειται δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ. ὧν τελευταῖος ὑστέρῳ χρόνῳ τότ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν. ἐπὶ τῷ

τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. Ἐξισῶσαι τοὺς πολίτας. ] τουτέστιν ἐντίμους ποιῆσαι τοὺς ἀτιμωθέντας. τοιαύτη γὰρ κατάστασις ἐνειστήκει, καθ' ἣν ἐφυγαδεύθησάν τινες τῶν πολιτῶν καὶ ἄτιμοι ἐγένοντο. ἄλλως. ἴσως ἐνταῦθα, περὶ τῶν δ λέγει στρατηγῶν, ὅτι, καὶ εἴ τις ἥμαρτε σφαλεὶς ἀπολογησάσθω καταχληθείς. δείματα γὰρ τὰς ἀτιμίας λέγει τοὺς φόβους

ἀφελεῖν